Ἡ μᾶλλον ἀξιοσημείωτος ἰδιότης τοῦ ξυλίτου εἶναι ἡ ἀποῤῥόφησις τῶν ἀερίων. Ὅθεν ἐὰν σβέσας τις τεμάχιον ἄνθρακος ἐντὸς ὑδραργύρου εἰσαγάγῃ αὐτὸ ἀμέσως εἰς δοκιμαστῆρα πλήρη ἀμμωνίας καὶ ὑδροχλωρικοῦ ὀξέος, ἢ θειούχου ὑδρογόνου, βλέπει σχεδὸν ἀμέσως τὸ μὲν ἀέριον καθ' ὁλοκληρίαν ἀφανιζόμενον, τὸν δὲ ὑδράργυρον καταπίπτοντα ἐντὸς τοῦ δοκιμαστῆρος. Πάντα τὰ ἀέρια ἀποῤῥοφῶνται μὲν ὑπὸ τοῦ ξυλάνθρακος, ἀλλὰ κατὰ διάφορον τρόπον κατὰ τὴν φύσιν αὐτῶν. Ἐν γένει δὲ ἡ ἀποῤῥόφησις εἶναι τοσοῦτον εὐκολωτέρα καὶ μεγαλητέρα, ὅσον τὸ ἀέριον εἶναι μᾶλλον διαλυτὸν εἰς τὸ ὕδωρ. Ἐν δὲ τῇ βιομηχανίᾳ ἐπωφελούμενοι ἀπὸ τὴν ἀπαῤῥοφητικὴν ταύτην ἰδιότητα τῶν ἀνθράκων καθαρίζουσι τὰ διεφθαρμένα ἐκ διαφόρων δηλητηριωδῶν ἀερίων ὕδατα· ἔτι οὕτω κωλύεται ἡ σῆψις τῶν ζωικῶν οὐσιῶν. Ὁ ξυλίτης εἰς ἐρυθροπύρωσιν ἀποσυνθέτει τὸ ὕδωρ ἀφαιρῶν ἐξ αὐτοῦ τὸ ὀξυγόνον καὶ καταλείπων ἐλεύθερον τὸ ὑδρογόνον. Διὰ νὰ γείνῃ δὲ ἡ ἀποσύνθεσις διαβιβάζεται ῥεῦμα ἀτμοῦ διὰ σωλῆνος ἀργιλοπλάστου ἐρυθροπυρωμένου καὶ πλήρους τέφρας. Τὸ δὲ ἐν τῷ δοκιμαστῆρι συναγόμενον ἀέριον εἶναι μίγμα κατὰ διαφόρους ἀναλογίας δηλ. ἐξ ὀξειδίου τοῦ ἄνθρακος, ἐξ ἀνθρακικοῦ ὀξέος, ἐκ καθαροῦ ὑδρογόνου καὶ μικρᾶς τινος ποσότητος ἀνθρακούχου ὑδρογόνου.

§ **169.** Ζωάνθρακες.—Οἱ ζωάνθρακες καλοῦνται προσέτι καὶ ἐλεφάντινον, γίνονται δὲ ἐκ τῆς καύσεως ζωικῶν οὐσιῶν κεκλεισμένων ἐντὸς ἀγγείων. Κατασκευάζονται συνήθως ὡς κόνις ἀψηλάφητος ἢ ἐν εἴδει κόκκων χρώματος ὡραίου μέλανος, περιέχοντος $\frac{1}{10}$ καθαροῦ

ἄνθρακος μεμιγμένου μετὰ $\frac{8}{100}$ φωσφορίου καὶ ἀνθρακίου τῆς τιτάνου.

Ἀξιολογωτάτη ἰδιότης τῶν ζωανθράκων τούτων εἶναι ἡ δύναμις δι' ἧς ἀποχρωματίζουσί τινα ὑγρά. Ἐὰν συνταραχθῇ ἐπί τινα καιρὸν ἐρυθρὸς οἶνος μετὰ τῶν ἀνθράκων τούτων καὶ ἀκολούθως διηθηθῇ τὸ μίγμα τοῦτο, ἀποτελεῖται ὑγρόν τι ὅλως ἄχρουν· διὰ τῆς ἰδιότητος ταύτης, ἐν χρήσει οὔσης ἐν τῇ βιομηχανίᾳ, ἀφαιροῦνται τὰ χρώματα πολλῶν ὀργανικῶν οὐσιῶν π. χ. τῆς ζακχάρεως τῶν τευτλίδων, τῶν σιραίων (σιροπίων) τῶν φυτικῶν ἀλκαλίων κτλ.

§ 170. **Χρῆσις τοῦ ἄνθρακος.**—Αἱ χρήσεις τοῦ ἄνθρακος εἶναι πολυειδεῖς. Ἐν εἴδει ἀδάμαντος εἶναι οὐ μόνον καλλώπισμα, ἀλλὰ χρησιμεύει προσέτι καὶ εἰς τομὴν τῆς ὑέλου καὶ εἰς λείανσιν τῶν πολυτίμων λίθων. Πασίγνωστος δὲ εἶναι ἡ χρῆσις τῶν λιθανθράκων, τῆς ἀνθρακίτιδος, τοῦ ἡμικαύστου, τοῦ ξυλίτου. Τέλος ἐν τῇ μεταλλουργίᾳ ὁ ἄνθραξ χρησιμεύει εἰς ἐξαγωγὴν πολυαρίθμων μετάλλων.

Ἀνθρακικὸν ὀξύ.

§ 171. Τὸ ἀνθρακικὸν ὀξὺ εἶναι τὸ πρῶτον διακριθὲν ἀέριον ἐν τῷ ἀτμοσφαιρικῷ ἀέρι, ἀνακαλυφθὲν ὑπὸ Βανχελμῶνος τῷ 1644. Ὁ Ἰατρὸς οὗτος θερμάνας ἰσχυρῶς τιτανώδεις λίθους, ἐγνώρισεν ὅτι ἐξήγετο ἀήρ τις, ὃν ὠνομάσεν ἀέριον. Ὁ Βλὰκ καὶ ὁ Πριεστλέϋ ἠρεύνησαν μὲν μετὰ προσοχῆς τὰς ἰδιότητας αὐτοῦ, ἀλλ' ὁ Λαβοαζιὲ ἔγνω ἀκριβῶς τὴν φύσιν καὶ τὴν σύνθεσιν αὐτοῦ. Τὸ δὲ ἀέριον τοῦτο ὠνομάσθη κατ' ἀρχὰς ἀὴρ σταθερὸς, ἀὴρ δυσώδης.

§ 172. Φυσικαὶ ἰδιότητες.—Τὸ ἀνθρακικὸν ὀξὺ εἶναι ἀέριον, ἄχρουν, διαφανές, ἐλαστικὸν, γεύσεως ὑποξύνου καὶ ὀσμῆς ὀλίγον δριμείας· ἡ εἰδικὴ αὐτοῦ βαρύτης εἶναι 1, 529. Τὸ ὕδωρ ἀποῤῥοφᾷ ἐκ τούτου ποσότητα ἴσην περίπου μὲ τὸν ὄγκον του, ἐν τῇ συνήθει πιέσει, ἐν μείζονι δὲ τὸ ὕδωρ διαλύει ποσότητα αὐξάνουσαν ἀναλόγως τῆς πιέσεως. Ἐπὶ ταύτης τῆς ἰδιότητος πηγάζει ἡ κατασκευὴ τοῦ τεχνητοῦ σελτζείου ὕδατος (Seltz)

Τὸ ἀνθρακικὸν ὀξὺ εἰς θερμοκρασίαν 0 καὶ πίεσιν 36 ἀτμοσφαιρῶν ὑγροποιεῖται. Τὸ δὲ ὑγρὸν τοῦτο εἶναι ἄχρουν, λίαν ῥευστὸν, διαλυτὸν εἰς τὸ οἰνόπνευμα καὶ εἰς τὸν αἰθέρα, ἀδιάλυτον δὲ εἰς τὸ ὕδωρ. Τοῦτο μεταβαλλόμενον εἰς ἀέριον προάγει μέγα ψῦχος 70 περίπου βαθμῶν ὑπὸ τὸ μηδέν.

§ 173. Χημικαὶ ἰδιότητες τοῦ ἀθρακικοῦ ὀξέος.—Τὸ ἀνθρακικὸν ὀξὺ, εἶναι ὀξὺ ἀσθενὲς, τρέπει εἰς ἐρυθροῦν οἰνῶδες χρῶμα τὰς κυανᾶς φυτικὰς οὐσίας, σβύνει τὰ ἀνημμένα σώματα· τὰ δὲ ζῶα εἰσπνέοντα αὐτὸ ὑπόκεινται εἰς ἀσφυξίαν· τέλος μετὰ τοῦ ὕδατος τῆς τιτάνου ἀποτελεῖ λευκὸν ἵζημα τοῦ ἀνθρακίου τῆς τιτάνου

Τὸ ἀνθρακικὸν ὀξὺ ὑποβαλλόμενον εἰς μεγίστην θερμοκρασίαν εἶναι ἀναλλοίωτον· σειρὰ ὅμως ἠλεκτρικῶν σπινθήρων ἀποσυνθέτει αὐτὸ εἰς ὀξυγόνον καὶ εἰς ὀξείδιον τοῦ ἄνθρακος.

§ 174. Φυσικὴ κατάστασις τοῦ ἀνθρακικοῦ ὀξέος.— Τὸ ἀνθρακικὸν ὀξὺ δαψιλῶς παρέχεται ὑπὸ τῆς φύσεως. Ἀποτελεῖ δὲ μέρος, ὡς εἴδομεν, τοῦ ἀτμοσφαιρικοῦ ἀέρος. Ἀπαντᾶται ἐν διαλύσει εἰς πολ-

λα εἴδη μεταλλικῶν ὑδάτων, ὧν γνωστότατον εἶναι τὸ σέλτζειον (Seltz). Τὸ ἀνθρακικὸν ὀξὺ ἀπαντᾶται καθαρὸν εἰς πολλὰ σπήλαια, ὧν ἀναφέρομεν ὡς γνωστὸν τὸ τοῦ κυνὸς λεγόμενον παρὰ τὴν Νεάπολιν. Ἐκλήθη δὲ οὕτω, διότι τὸ ἔδαφος αὐτοῦ εἶναι ἐπεστρωμένον μὲ στιβάδα ἀνθρακικοῦ ὀξέος, ἔνθα οὐ μόνον κύων, ἀλλὰ καὶ πᾶν ἄλλο εἶδος ζώου, ἔχοντος τὸ αὐτὸ ἀνάστημα καταλαμβάνεται εἰσερχόμενον ἀπὸ ἀσφυξίαν, ἐνῷ ὁ ἄνθρωπος δύναται ἐνταῦθα ν' ἀναπνεύσῃ τὸν ὑπερκείμενον ἀέρα ἄνευ κινδύνου.

Τὸ ἀνθρακικὸν ὀξὺ προκύπτει ἐκ τῆς καύσεως τῶν ξύλων, τῶν ἀνθράκων, τοῦ οἰνώδους ὀργασμοῦ, ἐκ τῆς οἴκοθεν γινομένης ἀποσυνθέσεως τῶν ὀργανικῶν οὐσιῶν καὶ ἐκ τῆς ἀναπνοῆς τῶν ζώων. Ἀπαντᾶται δ' ἐν ἀφθονίᾳ ἐν συνδυασμῷ εἰς τὸν ἀνθρακίαν τῆς τιτάνου, ἥτις ἀποτελεῖ σχεδὸν τὸ ὅλον τῆς ὑποστάθμης τῶν γηΐνων στρωμάτων π. χ. πάντες οἱ τιτανώδεις λίθοι, τὰ μάρμαρα, ἡ κρητὶς, τὰ ὄστρακα τῶν μαλακίων περιέχουσι τὸ ὀξὺ τοῦτο ἡνωμένον μετὰ τῆς τιτάνου. Τέλος ὑπάρχει ἔτι ἐν συνδυασμῷ μετά τινων βάσεων π. χ. μετὰ τῆς βαρύτιδος, τῆς στροντιανῆς, τῶν ὀξειδίων τοῦ σιδήρου καὶ τοῦ χαλκοῦ.

§ 175. **Κατασκευὴ τοῦ ἀνθρακικοῦ ὀξέος.** Δυνατὸν μὲν εἶναι ἀμέσως νὰ κατασκευασθῇ ἀνθρακικὸν ὀξύ, καιομένων ἀνθράκων ἐντὸς ἀγγείου περιέχοντος καθαρὸν ὀξυγόνον· ἀλλ' ὁ τρόπος οὗτος δύσκολος ὤν, παρέχει μικρὰν ποσότητα τοῦ ἀερίου τούτου· ὅθεν προτιμᾶται ἐν τῇ χημείᾳ ἡ ἀποσύνθεσις τοῦ ἀνθρακίου τῆς τιτάνου δι' ὀξέος δραστικοῦ. Λαμβάνοντες λοιπὸν τεμάχια λευκοῦ μαρμάρου, ἐμβάλλομεν ἐν φιάλῃ δι-

στόμῳ, κατὰ τὸ ἥμισυ πλήρει ὕδατος. Τὸ μὲν ἓν τῶν στομίων φέρει σωλῆνα εὐθὺν τελευτῶντα εἰς χοάνην· τούτου δὲ τὸ ἐσωτερικὸν ἄκρον βυθίζεται εἰς τὸ ὕδωρ, εἰς δὲ τὸ ἄλλο στόμιον εἶναι προσηρμοσμένος κυρτὸς σωλὴν φερόμενος εἰς κάδδον πλήρη ὕδατος· ἐγχέοντες δὲ ἐν τῷ εὐθεῖ σωλῆνι ὑδροχλωρικὸν ὀξύ, βλέπομεν εὐθὺς ζωηρὸν βρασμόν· ἔπειτα δὲ τὴν ἐξαγωγὴν τοῦ ἀνθρακικοῦ ὀξέος, ὅπερ συνάγεται ἐντὸς δοκιμαστῆρος. Οὕτω δύναταί τις ἐν ὀλίγῳ χρόνῳ νὰ κατασκευάσῃ ἱκανὴν ποσότητα τοῦ ἀερίου τούτου

§ 176. Θεωρία.— Ὁ ἀνθρακίας τῆς τιτάνου σύγκειται ἐξ ἀνθρακικοῦ ὀξέος καὶ τιτάνου. Τὸ δὲ ὑδροχλωρικὸν ὀξὺ δραστικώτερον ὂν τοῦ ἀνθρακικοῦ ἕλκει τὴν τίτανον καὶ ἀφίνει ἐλεύθερον τό ὀξὺ τοῦτο, οὕτω πηγάζει χλωροῦχον τιτάνιον, ὅπερ μένει διαλελυμένον εἰς τὸ ὕδωρ τῆς φιάλης. Ὁ δὲ ἀκόλουθος τύπος παριστάνει τὴν χημικὴν ταύτην ἐνέργειαν $TO, ANO^2 + YX = ANO^2 + TX + YO$

Σημείωσις.— Δύναται ν' ἀντικατασταθῇ τὸ ὑδροχλορικὸν ὀξὺ διὰ τοῦ θειικοῦ ὀξέος· ἀλλὰ τότε θέλει προκύψει ἀνθρακικὸν ὀξὺ καὶ θειίας τῆς τινάνου.

$$TO, ANO^2 + \Theta O^3 = ANO^2 + TO, \Theta O^3 .$$

Ἀλλ' οὗτος ὢν ὀλίγον διαλυτὸς εἰς τὸ ὕδωρ ἐπικάθηται ἐπὶ τῶν τεμαχίων τοῦ μαρμάρȣ· ταῦτα δὲ ὄντα περιβεβλημένα ὑπὸ τῆς ὕλης ταύτης ἐμποδίζȣσι τὴν χημικὴν ἐνέργειαν. Εἰς ἀποφυγὴν δὲ τοῦ ἀτοπήματος τούτου πρέπει νὰ τεθῇ κρητὶς τετριμμένη ἢ διττανθρακίας τῆς σόδας.

§ 177. Χρῆσις τοῦ ἀνθρακικοῦ ὀξέος. — Τὸ ἀνθαρκικὸν ὀξὺ διαλελυμένον εἰς τὸ ὕδωρ ἀποτελεῖ τὰ

ἀτμώδη ὕδατα, τάτε φυσικὰ καὶ τὰ τεχνητά, καλούμενα σέλτζεια (seltz). Κατασκευάζεται δὲ τὸ τεχνητὸν τοῦτο ὕδωρ διὰ τῆς πιέσεως τοῦ ἀνθρακικοῦ ὀξέος ἐν καθαρῷ ὕδατι διὰ μέσου τῆς θλιπτικῆς ἀντλίας. Εἶναι ἔτι ἐν χρήσει μικρόν τι ἐργαλεῖον ἐξ ὑέλου παχείας ἐν ᾧ δύναταί τις νὰ κατασκευάσῃ μόνος ἀτμῶδες ὕδωρ, ἑνόνων τρυγικὸν ὀξὺ μετὰ τετριμμένου διττανθρακίου τῆς σόδας.

Προαγωγὴ τοῦ ἀνθρακικοῦ ὀξέος ἐκ τῆς ἀναπνοῆς τῶν ζώων· ἀποσύνθεσις αὐτοῦ ἐκ τῶν φυτῶν.

§ 178. Προαγωγὴ τοῦ ἀνθρακικοῦ ὀξέος ἐκ τῆς ἀναπνοῆς τῶν ζώων.—Τὸ κυριώτερον φαινόμενον τῆς ἀναπνοῆς τῶν ζώων εἶναι ἡ διηνεκὴς ἐξαγωγὴ ποσότητός τινος ἀνθρακικοῦ ὀξέος καὶ ὑδατωδῶν ἀτμῶν. Ἀναλυομένου δὲ τοῦ ἐκπνεομένου ἀέρος ἀποδεικνύεται ὅτι περιέχει περισσοτέραν ποσότητα ὑδατωδῶν ἀτμῶν, ὀλιγωτέραν δὲ ποσότητα ὀξυγόνου καὶ περισσοτέραν ἀνθρακικοῦ ὀξέος παρὰ τὸν εἰσπνεόμενον ἀέρα. Ὅτι δὲ πλεονάζει τὸ ἀνθρακικὸν ὀξὺ δύναται εὐκόλως ν' ἀποδειχθῇ διὰ τοῦ ἑξῆς πειράματος. Λαμβάνοντες σωλῆνα ὑέλινον δι' αὐτοῦ ἐμφυσῶμεν, βυθίσαντες τὸν σωλῆνα ἐντὸς διαλελυμένης ἐν τῷ ὕδατι τιτάνου, περιεχομένης δὲ ἐντὸς μικροῦ τινος ἀγγείου· βλέπομεν δὲ μετ' ὀλίγον τὴν διάλυσιν ταύτην τῆς τιτάνου θολουμένην, ἐνῷ διὰ τοῦ κοινοῦ ἀέρος τὸ ὕδωρ μένει διαυγές.

Ὁ Λαβοαζιὲ καὶ ὁ Λανγράνγης διὰ νὰ ἐξηγήσωσι τὴν παραγωγὴν τοῦ ἀνθρακικοῦ ὀξέος καὶ τοῦ ὑδατώδους ἀτμοῦ ἐν τῇ ἀναπνοῇ τῶν ζώων, παρεδέχθησαν

ὅτι τὸ ὀξυγόνον τοῦ ἀτμοσφαιρικοῦ ἀέρος ἁπτόμενον τοῦ φλεβικοῦ αἵματος ἐν ταῖς κυψέλαις τοῦ πνεύμονος ἀφαιρεῖ ἀπ' αὐτοῦ μέρος τοῦ ἄνθρακος καὶ τοῦ ὑδρογόνου, τὰ ὁποῖα μεταβάλλει εἰς ἀνθρακικὸν ὀξὺ καὶ εἰς ὑδατώδεις ἀτμούς· ἐκ τούτου λοιπὸν συμβαίνει ἡ μεταποίησις τοῦ φλεβικοῦ αἵματος εἰς ἀρτηριακὸν καὶ ἡ προαγωγὴ τῆς ζωικῆς θερμότητος.

Πρωτανθρακοῦχον ὑδρογόνον.

§ 166. Φυσικαὶ ἰδιότητες. — Τὸ πρωτανθρακοῦχον ὑδρογόνον, ὅπερ καὶ νῦν καλεῖται ἑλῶδες ἀέριον, διότι φυσικῶς ἐξατμίζεται ἐκ τῆς ἰλύος τῶν ἀκινήτων ὑδάτων, εἶναι ἀέριον ἄχρουν, ἄοσμον, ἄχυμον καὶ ὀλίγον διαλυτὸν εἰς τὸ ὕδωρ. Ἡ δὲ εἰδικὴ αὐτοῦ βαρύτης εἶναι 0,559.

§ 167. Χημικαὶ ἰδιότητες. — Τὸ πρωτανθρακοῦχον ὑδρογόνον φλογίζεται κατὰ τὴν ἐπαφὴν τοῦ ἀέρος διαδίδον φλόγα ὑποκυανῆν καὶ παράγον ὕδωρ καὶ ἀνθρακικὸν ὀξύ. Μίγμα δὲ χλωρίου καὶ πρωτανθρακούχου ὑδρογόνου ἐκπυρσοκροτεῖ βιαίως ἐκτιθέμενον ἀμέσως εἰς τὰς ἡλιακὰς ἀκτῖνας, συχνάκις δὲ καὶ εἰς τὸ φῶς. Τὸ χλώριον ἑνούμενον μετὰ τοῦ ὑδρογόνου ἀποτελεῖ ὑδροχλωρικὸν ὀξὺ καταλειπομένης ὑποστάθμης ἄνθρακος.


$$AN^2\,Y^4 + 4X = 4YX + 2AN.$$

Ὅταν τὸ μίγμα τοῦ χλωρίου καὶ τοῦ πρωτανθρακούχου ὑδρογόνου ὑγρὸν ὂν ἐκτεθῇ εἰς τὸ συγκεχυμένον φῶς, τὸ ἐν τῷ μίγματι ὕδωρ ἀποσυντιθέμενον ἀποτελεῖ τότε ὑδροχλωρικὸν ὀξὺ καὶ ἀνθρακικὸν ὀξύ.

$$AN^2\,Y^4 + 8X + 4YO = 8YX + 2ANO^2.$$

§ 168. **Φυσικὴ κατάστασις.**—Τὸ πρωτανθρακοῦχον ὑδρογόνον ἐκπέμπεται ὡς εἴπομεν ἀνωτέρω ἐκ τῆς ἰλύος τῶν ἑλῶν καὶ ἐκ τῶν ἀκινήτων ἐν γένει ὑδάτων· προκύπτει δὲ ἐκ τῆς ἀποσυνθέσεως τῶν ὀργανικῶν οὐσιῶν, ἃς δαψιλῶς τὰ ὕδατα ταῦτα περιέχουσι. Ἐξατμίζεται δὲ ἐξ αὐτῆς τῆς γῆς κατὰ διάφορα σημεῖα τῆς ἐπιφανείας αὐτῆς, ἔνθα χρησιμεύει εἰς διατήρησιν τοῦ φυσικοῦ πυρός, ὅπερ ἐνίοτε συντελεῖ εἰς κατασκευὴν τῆς τιτάνου καὶ εἰς πλινθουργίαν. Τὸ πρωτανθρακοῦχον ὑδρογόνον ἐξατμίζεται ὁμοίως εἴς τινα ἀνθρακωρυχεῖα. Κουφότερον δὲ τοῦ ἀτμοσφαιρικοῦ ἀέρος ὄν, τείνει εἰς τὸ νὰ καθέξῃ τὰς ὑψηλοτέρας χώρας αὐτῶν, ὅπου ἀποτελεῖ τὰ ἐκπυρσοκροτοῦντα ἐκεῖνα μίγματα, ἅτινα συχνάκις γίνονται παραίτια μεγάλων δυστυχημάτων. Ἅπασαι δὲ αἱ οὐσίαι αἱ περιέχουσαι ἐν ἀφθονίᾳ ὑδρογόνον καὶ ἄνθρακα, ὡς οἱ γαιάνθρακες, τὰ λιπώδη σώματα, αἱ ῥητίναι καιόμεναι ἐξάγουσιν ἀφθόνως τὸ ἀέριον τοῦτο.

§ 169. **Κατασκευή.** — Δύναταί τις εὐκόλως νὰ πορισθῇ πρωτανθρακοῦχον ὑδρογόνον συνταράττων διὰ ῥάβδου τὴν ἰλὺν τῶν ἑλῶν, καὶ συναθροίζων τὸ ἀέριον τοῦτο εἴς τινα φιάλην πλήρη ὕδατος φέρουσαν κάτωθεν εὐρεῖαν χοάνην (Σχ. 82). Τὸ δὲ οὕτω συναγόμενον



Σχῆμα 82.—

ἀέριον οὐδέποτε εἶναι καθαρὸν, ἀλλὰ περιέχει συνήθως ποσότητά τινα ἀζώτου καὶ ἀνθρακικοῦ ὀξέος.

Κατασκευάζουσι δὲ πρωτανθρακοῦχον ὑδρογόνον εἰς τὰ χημεῖα θερμαίνοντες ἐλαφρῶς ἐν χημικῇ τινι λαγήνῳ μίγμα ἐξ 1 μέρους ὀξυΐου σόδας καὶ ἐκ 3 μερῶν βαρύτιδος. Τὸ μὲν πρωτανθρακοῦχον ὑδρογόνον ἐξάγεται, μένει δὲ εἰς τὴν χημικὴν λάγηνον μίγμα ἀνθρακίου σόδας καὶ ἀνθρακίου βαρύτιδος.

Θεωρία.—Τὸ ὀξυκὸν ὀξὺ, οὗτινος ὁ τύπος εἶναι $AN^4 Y^4 O^4$ δύναται νὰ θεωρηθῇ ὡς παραγόμενον ἐξ ἑνὸς ἰσοδυνάμου πρωτανθρακούχου ὑδρογόνου $AN^2 Y^4$ καὶ 2 ἰσοδυνάμων ἀνθρακικοῦ ὀξέος $2ANO^2$, ὅπερ ἐξηγεῖ τὴν ἐξάτμισιν τοῦ ἀερίου καὶ τὴν παραγωγὴν τῶν δύο ἀνθρακιῶν τῆς σόδας καὶ τῆς βαρύτιδος.

§ 170. Χρῆσις. — Τὸ πρωτανθρακοῦχον ὑδρογόνον καθαρὸν ὂν δὲν εἶναι ἐν χρήσει· ἀλλ' ἀποτελεῖ μέρος τοῦ φωτιστικοῦ ἀερίου περὶ τοῦ ὁποίου θέλομεν λαλήσει κατωτέρω.

Διτανθρακοῦχον ὑδρογόνον.

§ 171. Τὸ διττανθρακοῦχον ὑδρογόνον ἀνεκαλύφθη πρὸς τὸ τέλος τοῦ τελευταίου αἰῶνος ὑπὸ χημικῶν Ὁλλανδῶν. Ἐνίοτε δὲ καλεῖται ἐλαιογόνον ἀέριον, διότι ἑνούμενον μετὰ τοῦ χλωρίου ἀποτελεῖ ἐλαιῶδές τι, ὅπερ καλεῖται Ὁλλανδικὸν ὑγρόν.

§ 172. Φυσικαὶ ἰδιότητος. — Τὸ διττανθρακοῦχον ὑδρογόνον εἶναι ἀέριον ἄχρουν, ἔχει ὀσμὴν ἐμπυρευματικὴν (δηλαδὴ κεκαυμένου πράγματος) καὶ αἰθερώδη, εἶναι ὀλίγον διαλυτὸν εἰς τὸ ὕδωρ· ἡ εἰδικὴ

αὐτοῦ βαρύτης εἶναι 0,985. Δύναται δὲ νὰ ὑγροποιηθῇ διὰ πιέσεως πολλῶν ἀτμοσφαιρῶν, ἢ διὰ τοῦ ψύχους, ὅπερ προκύπτει ἐκ τῆς μίξεως τοῦ ἀνθρακικοῦ ὀξέος μετὰ τοῦ αἰθέρος.

§ 173. Χημικαὶ ἰδιότητες. — Τὸ διττανθρακοῦχον ὑδρογόνον ἀποσυντίθεται διὰ τῆς θερμότητος ἢ διὰ σειρᾶς ἠλεκτρικῶν σπινθήρων, μετὰ δὲ τὴν ἀποσύνθεσιν παρέχει ὄγκον ὑδρογόνου διπλάσιον τοῦ προτέρου καὶ ὑποστάθμην ἄνθρακος. Τὸ ἀέριον τοῦτο εἶναι λίαν φλογιστὸν, ἀνάπτον κατὰ τὴν ἐπαφὴν τοῦ ἀέρος μετὰ ζωηρᾶς λάμψεως· μετὰ δὲ τὴν καῦσιν, παράγει ὕδωρ, ἀνθρακικὸν ὀξὺ καὶ ὑποστάθμην ἄνθρακος.

Τὸ θεῖον ἐρυθροπυρωθὲν ἀποσυνθέτει τὸ διττανθρακοῦχον ὑδρογόνον καὶ ἀποτελεῖ ὑδροθειικὸν ὀξὺ καὶ ὑποστάθμην ἄνθρακος. Τὸ χλώριον ἐνεργεῖ κατὰ δύο διαφορετικοὺς τρόπους ἐπὶ τοῦ διττανθρακούχου ὑδρογόνου ἀναλόγως τῆς θερμοκρασίας καθ' ἣν ἡ χημικὴ ἐνέργεια τῶν δύο σωμάτων γίνεται.

Α'. Ἐὰν ἑνώσῃ τις ἕνα ὄγκον διττανθρακούχου ὑδρογόνου μετὰ δύο χλωρίου καὶ πλησιάσῃ εἰς τὸ μίγμα τοῦτο λαμπάδα ἀνημμένην, τὸ ἀέριον εὐθὺς φλογίζεται καὶ παράγονται τέσσαρες ὄγκοι ὑδροχλωρικοῦ ὀξέος καὶ ἄφθονος ὑποστάθμη ἄνθρακος·

$$AN^4\,Y^4 + 4X = 4YX + 4AN.$$

ὁ συνδυασμὸς οὗτος γίνεται στιγμιαίως μετ' ἐκπυρσοκροτήσεως διὰ τῆς ἐνεργείας τῶν ἡλιακῶν ἀκτίνων.

Β'. Ἐὰν ἐκτεθῇ εἰς συγκεχυμένον φῶς καὶ εἰς τὴν συνήθη θερμοκρασίαν μίγμα ἴσων ὄγκων διττανθρακούχου ὑδρογόνου καὶ χλωρίου τὰ δύο ἀέρια συνδυαζόμενα ἀμέσως παράγουσιν ἐλαιῶδες ὑγρὸν ἐξατμι-

στόν, ὀσμῆς αἰθερώδους καλούμενον ὑγρὸν ἢ ἔλαιον Ὀλλανδικόν.

Εἷς ὄγκος διττανθρακούχου ὑδρογόνου καὶ τρεῖς ὀξυγόνου ἀποτελοῦσι μίγμα ἐκπυρσοκροτοῦν μετὰ μεγίστης ἐντάσεως, εἴτε κατὰ τὴν ἐπαφὴν φλογὸς λύχνου, εἴτε δι' ἠλεκτρικοῦ σπινθῆρος. Τὸ μίγμα δὲ τοῦτο ἀποτελεῖ μετὰ τὴν χημικὴν ἐνέργειαν ὕδωρ καὶ ἀνθρακικὸν ὀξύ.

§ 174. Κατασκευή.—Τὸ διττανθρακοῦχον ὑδρογόνον μὴ ἀπαντώμενον ἐν τῇ φύσει δύναταί τις νὰ κατασκευάσῃ θερμαίνων ἐντὸς λαγήνου μίαν μονάδα κατὰ βάρος οἰνοπνεύματος καὶ τέσσαρας θειικοῦ ὀξέος συμπεπυκνωμένου. Ἡ θερμοκρασία πρέπει νὰ ὑψωθῇ μέχρι ζέσεως δηλ. 160 ἢ 180 βαθμῶν.

§ 175. Θεωρία.—Τὸ οἰνόπνευμα, οὗτινος ὁ τύπος εἶναι $AN^4 Y^6 O^2$,δύναται νὰ θεωρηθῇ ὡς προκύπτον ἐξ ἑνὸς ἰσοδυνάμου διττανθρακούχου ὑδρογόνου $AN^4 Y^4$ καὶ δύο ἰσοδυνάμων ὕδατος $2YO$. Τὸ θειικὸν ὀξὺ ἀποχωρίζει ἐκ τοῦ οἰνοπνεύματος τὰ δύο ἰσοδύναμα τοῦ ὕδατος καὶ οὕτω τὸ μεταβάλλει εἰς διττανθρακοῦχον ὑδρογόνον.

$$AN^4 Y^6 O^2 + \Theta O^3 = AN^4 Y^4 + 2YO + \Theta O^3 .$$

§ 176. Χρῆσις.—Τὸ διττανθρακοῦχον ὑδρογόνον ἀποτελεῖ μέρος τοῦ φωτιστικοῦ ἀερίου περὶ οὗ μέλλομεν ἐν τοῖς ἑξῆς νὰ διαλάβωμεν.

Φωτιστικὸν ἀέριον.

§ 177. Ἡ ἀνακάλυψις τούτȣ ἀνήκει εἰς τὸν Φίλιππον Λεβὼν μηχανικὸν Γάλλον, ὅστις ἐν ὑπομνήματι δημοσιευθέντι τῷ 1801 ἀνήγγειλε πῶς δύναται νὰ κατασκευασθῇ ἀέριον φλογιστὸν διὰ τῆς διυλίσεως distillassion

ξύλων καὶ λιπωδῶν οὐσιῶν. Ἀλλ' οὗτος ἔπαθεν ὅτι οἱ πλεῖστοι τῶν μεγάλων ἐφευρετῶν· διότι αἱ μὲν ἰδέαι του δὲν ἔτυχον καλῆς ὑποδοχῆς· αὐτὸς δὲ ἀπέθανε μὴ δυνηθεὶς νὰ τὰς πραγματοποιήσῃ εἰς τὴν πατρίδα του. Ἀλλ' ἡ Ἀγγλία μετ' οὐ πολὺ 1805 ὠφεληθεῖσα ἐκ τούτου ἐφωταγώγησε πλεῖστα ἐργοστάσια ἐν Βιρμιγχάμῃ καὶ αὐτὸ τὸ περίφημον κατάστημα Οὐάτ.

§ 178. Κατασκευή.—Δύναται νὰ κατασκευασθῇ τὸ ἀέριον τοῦτο διὰ τῆς διυλίσεως πολλῶν ὀργανικῶν οὐσιῶν δαψιλῶς περιεχουσῶν ἄνθρακα καὶ ὑδρογόνον, οἷον τὸ λίπος, τὸ ἔλαιον, ὁ κηρός, ἡ ῥητίνη κτλ. Ἀλλὰ προτιμᾶται ἐν γένει ἡ ἐξαγωγὴ αὐτοῦ ἐκ γαιανθράκων, ἕνεκα τῆς ἀφθονίας αὐτῶν καὶ τοῦ μετὰ τὴν ἐξαγωγὴν λειψάνου τοῦ ἐπιτηδείου εἰς καῦσιν, ἤτοι τοῦ ἡμικαύστου ἄνθρακος (coke).

§ 179. Σύνθεσις.—Τὸ ἀέριον τοῦτο γινόμενον ἐκ τῆς διυλίσεως τῶν γαιανθράκων σύγκειται οὐσιωδῶς ἐκ τοῦ πρωτανθρακούχου ὑδρογόνου καὶ τοῦ διττανθρακούχου ὑδρογόνου μεμιγμένων ἀμφοτέρων κατὰ διαφόρους ἀναλογίας. Εἰς 100 μέρη τοῦ ἀερίου τούτου εὑρίσκονται 85—88 πρωτανθρακούχου ὑδρογόνου καὶ 12—15 διττανθρακούχου ὑδρογόνου. Ἀλλ' ἐκτὸς τούτου περιέχεται ποσότης τις καθαροῦ ὑδρογόνου ἀζώτου, ὀξειδίου τοῦ ἄνθρακος, ὑδροθειικοῦ ὀξέος, ἔτι δὲ περιέχονται καί τινα ἀερώδη ἀνθρακοῦχα σώματα, ἅτινα μεταδίδουσιν αὐτῷ ἰδιαιτέραν τινὰ ὀσμὴν ἐξ ὧν εἶναι ἀδύνατον ν' ἀποσπασθῇ ἐντελῶς.

'Αζωτικὸν ὀξύ.

§ 180. Τὸ ἀζωτικὸν ὀξὺ ἀνεκαλύφθη 1225 ὑπὸ τοῦ Baymond Sulle. Διηθίζων ὁ περίφημος οὗτος ἀλχημικὸς μίγμα ἀργίλου καὶ νίτρου (ἀζωτίαν τῆς ποτάσσης) εὗρε τὸ χρησιμώτατον τοῦτο ὀξύ. Πρῶτος ὁ Σχέελ διέκρινεν αὐτὸ τοῦ ὑπαζωτικοῦ ὀξέος μεθ' οὗ συνεχέετο πέντοτε. 'Αλλὰ ἡ χημικὴ αὐτοῦ φύσις καὶ ἡ σύνθεσις προσδιωρίσθησαν ἀκριβῶς ἐν ἔτει 1784 ἐκ τῶν πειραμάτων τοῦ Καβενδίσχη. Προσηγορεύετο δὲ ὁτὲ μὲν πνεῦμα τοῦ νίτρου, ὁτὲ δὲ ὕδωρ δυνατὸν καὶ ἄλλοτε νιτρικὸν ὀξύ.

§ 181. Φυσικαὶ ἰδιότητες. — Διακρίνονται δὲ δύο εἴδη ἀζωτικοῦ ὀξέος· ά. τὸ ἄνυδρον καὶ β΄. τὸ ὑδαρές.

Τὸ ἄνυδρον ἀζωτικὸν ὀξὺ ἀνακαλυφθὲν νεωστὶ ὑπὸ τοῦ Μ. Δεβὶλ εἶναι στερεὸν, λευκὸν, κρυσταλλωμένον εἰς πρίσματα ῥομβοειδῆ· τήκεται δὲ εἰς τὸν 30ον βαθμὸν, καὶ ζέει εἰς τὸν 50ον. Καθυποβαλλόμενον δὲ εἰς ὑψηλοτέραν θερμοκρασίαν ἀποσυντίθεται εἰς ὑπαζωτικὸν ὀξὺ καὶ εἰς ὀξυγόνον. Ἔχει δὲ τύπον AO^5.

Τὸ δὲ ὑδαρὲς ἔχει πάντοτε ἓν ἰσοδύναμον τοὐλάχιςον ὕδατος AO^5, ΥΟ, καὶ συχνάκις ἔχει τέσσαρα ἰσοδύναμα ὕδατος ὡς AO^5, 4ΥΟ, τοῦτο ἀποτελεῖ τὸ κοινὸν ἀζωτικὸν ὀξὺ, εἶναι δὲ ὑγρὸν ἄχρουν, ἀναδίδει καπνὸν καὶ ἔχει γεῦσιν καυστικὴν καὶ ὀσμὴν δυνατὴν καὶ ἰδιάζουσαν. Ζέει δὲ εἰς 86 βαθμοὺς καὶ πήγνυται εἰς τὸν 50. Ἡ εἰδικὴ αὐτοῦ βαρύτης εἶναι 1,522.

§ 181. Χημικαὶ ἰδιότητες.—Τὸ ἀζωτικὸν ὀξὺ εἶναι τὸ ἐνεργητικώτερον ὅλων τῶν ὀξέων· ἐρυθραίνει ζωηρῶς τὰς βαφὰς τοῦ ἡλιοτροπίου καὶ κιτρινίζει τὸ

δέρμα ὡς καὶ τὸ πλεῖστον μέρος τῶν ὀργανικῶν οὐσιῶν, ταύτας δύναται καὶ νὰ καταστρέψῃ, ὅταν ἐξακολουθῇ ἐπὶ πολὺ νὰ ἐνεργῇ εἰς αὐτάς· τὸ φῶς ἀποσυνθέτει αὐτὸ, ἀλλὰ πολὺ βραδέως. Ὁ ἄνθραξ, τὸ θεῖον, ὁ φωσφόρος καὶ τὸ ἰώδιον ἀφαιροῦσιν ἓν μέρος τοῦ ὀξυγόνου του καὶ τὸ μεταβάλλουν εἰς διττοξείδιον τοῦ ἀζώτου ἢ εἰς ὑπαζωτικὸν ὀξύ. Τὸ ὑδρογόνον ὑπὸ τὴν ἐπιῤῥοὴν τῆς θερμότητος, ἀποσυνθέτει αὐτὸ μετ' ἐκπυρσοκροτήσεως, μετὰ δὲ τὸ πείραμα προκύπτει ὕδωρ καὶ ἄζωτον· AO^5 , $YO+5Y=6YO+A$.

§ 182. Φυσικὴ κατάστασις. — Τὸ ἀζωτικὸν ὀξὺ παράγεται ἐνίοτε ἐν τῷ μέσῳ τῆς ἀτμοσφαίρας ἐν καιρῷ θυέλλης. Προκύπτει δὲ τοῦτο ἐκ τοῦ ἀμέσου συνδυασμοῦ τοῦ ἀζώτου καὶ τοῦ ὀξυγόνου τοῦ ἐν καταστάσει ὀζονίου ἐκ τῆς ἐπιῤῥοῆς τοῦ ἠλεκτρισμοῦ. Δύναταί τις νὰ κατασκευάσῃ αὐτὸ καὶ τεχνικῶς διαβιβάζων σειρὰν ἠλεκτρικῶν σπινθήρων διὰ μίγματος ὀξυγόνου καὶ ἀζώτου τεθειμένων ἐφ' ὕδατος. Ἀπαντᾶται ἐν ἀφθονίᾳ εἰς τὴν φύσιν τὸ ἀζωτικὸν ὀξὺ συνδυασμένον μετὰ τῆς ποτάσσης, τῆς σόδας, τῆς τιτάνου καὶ μαγνησίας.

§ 183. Κατασκευὴ τοῦ κοινοῦ ἀζωτικοῦ ὀξέος. — Δύναταί τις νὰ κατασκευάσῃ τὸ κοινὸν ἀζωτικὸν ὀξὺ ἀποσυνθέτων τὸν ἀζωτίαν τῆς ποτάσσης διὰ τοῦ θειικοῦ ὀξέος.

Τὸ ἐργαλεῖον τὸ ὁποῖον μεταχειρίζονται πρὸς τοῦτο σύγκειται ἐξ ὑελίνου κέρατος, οὗτινος ὁ λαιμὸς εἰσέρχεται ἐντὸς χημικῆς φιάλης ψυχραινομένης διὰ συνεχοῦς πτώσεως ψυχροῦ ὕδατος. Εἰσάγουν ἐντὸς τοῦ κέρατος ἓξ μέρη ἀζωτίου τῆς ποτάσσης καὶ τέσσαρα θειικοῦ ὀξέος, ἔπειτα θέρμαίνουν βαθμηδὸν τὸ μίγμα. Ἐν

ἀρχῇ τῆς ἐργασίας τὸ κέρας φαίνεται καὶ ἡ χημικὴ φιάλη πλήρης ἐρυθρωπῶν ἀτμῶν ὑπὸ ἀζωτικοῦ ὀξέος. Οἱ ἀτμοὶ οὗτοι προέρχονται ἐκ τῆς ἀποσυνθέσεως τῶν πρώτων μεριδίων τοῦ ἀζωτικοῦ ὀξέος ἐκ τοῦ θειικοῦ ὀξέος, ὅπερ πλεονάζει. Μετ' ὀλίγον ὅμως τὸ ἀζωτικὸν ὀξὺ ἀποσταλάζον συναθροίζεται ἐντὸς τῆς χημικῆς φιάλης. Πρὸς δὲ τὸ τέλος τῆς ἐργασίας ἄρχονται ν' ἀναφαίνωνται πάλιν οἱ ἐρυθρωποὶ ἀτμοί, οἵτινες ἀποδίδονται καὶ αὖθις εἰς τὸν πλεονασμὸν τοῦ θειικοῦ ὀξέος.

§ 183. Θεωρία. Ἡ θεωρία τῆς κατασκευῆς ταύτης εἶναι ἁπλουστάτη. Ὁ ἀζωτίας τῆς ποτάσσης ΠΤΟ, AO^5 σύγκειται ἐκ τοῦ ἀζωτικοῦ ὀξέος καὶ τῆς ποτάσσης. Τὸ δὲ θειικὸν ὀξύ, ἰσχυρότερον καὶ σταθερώτερον τοῦ ἀζωτικοῦ ὀξέος λαμβάνει τὴν πότασσαν καὶ ἀφίνει τὸ ὀξὺ τοῦτο ἐλεύθερον. Μένει δὲ ἐντὸς τοῦ κέρατος διττοθειίας τῆς ποτάσσης.

$$ΠΤΟ, AO^5 + 2ΘΟ^3\ ΥΟ = AO_5, ΥΟ + ΠΤΟ, 2ΘΟ^3, ΥΟ.$$

§ 184. Χρῆσις τοῦ ἀζωτικοῦ ὀξέος.—Αἱ χρήσεις τοῦ ἀζωτικοῦ ὀξέος εἰσὶ πολυάριθμοι εἰς τὴν ἰατρικὴν καὶ εἰς τὰς τέχνας. Ἐν τῇ ἰατρικῇ εἶναι ἐν χρήσει ὡς ὕλη καυστικὴ πληγῶν τινων κακῆς φύσεως· χρησιμεύει προσέτι πρὸς ἔξωσιν τῶν κονδυλωμάτων (μικρῶν σαρκιδίων τῶν χειρῶν) καὶ τῶν οἰδημάτων. Ἐν δὲ ταῖς τέχναις χρησιμεύει πρὸς ἐγχάραξιν γραμμάτων ἐπὶ χαλκοῦ ἢ ἐπὶ χάλυβος, πρὸς κατασκευὴν ὀξαλικοῦ ὀξέος, βενζοϊκοῦ καὶ ἄλλων πολλῶν τοιούτων. Τὸ μεταχειρίζονται προσέτι πρὸς ἐξέλεγξιν τοῦ χρυσοῦ καὶ τῶν νομισμάτων, πρὸς καθαρισμὸν τῶν μετάλλων καὶ πρὸς κατασκευὴν διαφόρων μεταλλικῶν διαλύσεων.

Ἀμμωνία.

§ 185. Τὸ σῶμα τοῦτο εἶναι γνωστὸν πρὸ πολλοῦ· ὁ Σχεὲλ καὶ ὁ Πριεστλὲϋ πρῶτοι ἀνέλυσαν αὐτὸ καὶ ἀπέδειξαν ὅτι σύγκειται ἀπὸ ἄζωτον καὶ ὑδρογόνον. Ὁ Βερθολλέτης ὥρισε σχετικῶς τὰ μέρη τῶν δύο τούτων στοιχείων. Ἡ ἀμμωνία ἐχαρακτηρίσθη ὑπὸ τὸ ὄνομα ἀλκαλικὸν ἀέριον, πνεῦμα ἀμμωνιακοῦ ἅλατος καὶ ἀζωτοῦχον ὑδρογόνον. Ἂν καὶ τὸ τελευταῖον τοῦτο ὄνομα συμφωνῇ κατὰ πάντα μὲ τὴν χημικὴν ὀνοματολογίαν, οἱ νεώτεροι ὅμως χημικοὶ διετήρησαν τὸ Ἀραβικὸν ὄνομα ἀμμωνία.

§ 186. Φυσικαὶ ἰδιότητες.— Ἡ ἀμμωνία εἶναι ἀέριον ἄχρουν, ὀσμῆς βαρείας καὶ δριμυτάτης. Ἡ εἰσπνοὴ τοῦ ἀερίου τούτου ἐρεθίζει τόσον τὰ κοιλώματα τῆς ῥινός, ὥστε προκαλεῖ τὰ δάκρυα. Ἡ εἰδικὴ αὐτῆς βαρύτης εἶναι 0.597. Καθυποβληθεῖσα δὲ εἰς ψύχρανσιν —40° εἰς τὴν συνήθη πίεσιν ἢ εἰς πίεσιν 7 ἀτμοσφαιρῶν καὶ θερμοκρασίαν 10 βαθμῶν ὑγροποιεῖται, ἀποτελοῦσα ὑγρὸν ἄχρουν, λίαν ῥευστὸν καὶ λίαν εὐκίνητον.

Ἡ ἀμμωνία εἶναι λίαν διαλυτὴ εἰς τὸ ὕδωρ. Τεμάχιον δὲ πάγου εἰσαχθὲν ἐντὸς κώδωνος πλήρους ἀμμωνίας ἀπορροφᾷ αὐτὴν καὶ τήκεται παρευθύς.

Ἡ διάλυσις τῆς ἀμμωνίας ἐντὸς τοῦ ὕδατος, τὴν ὁποίαν ἀκαταλλήλως καλοῦσιν ὑγρὰν ἀμμωνίαν, εἶναι ἐλαφροτέρα τοῦ ὕδατος. Ἡ εἰδικὴ αὐτῆς βαρύτης εἶναι 0.85. Αὕτη ἐξάγει τὴν αὐτὴν ὀσμήν, ἣν καὶ ἡ κυρίως ἀμμωνία, καὶ ἔχει τὸ πλεῖστον μέρος τῶν χημικῶν αὐτῆς ἰδιοτήτων, καὶ πήγνυται εἰς τὸν —40 βαθμόν· ὑποβληθεῖσα δὲ εἰς θερμοκρασίαν 60 βαθμῶν ἢ τεθεῖσα ἐντὸς τοῦ κε-

νοῦ, ἢ μείνασα ἐν ἀγγείῳ ἀπωματίστῳ ἐπί τινα καιρὸν ἀποβάλλει τὸ ἀέριον τοῦτο. Ἡ διάλυσις αὕτη τῆς ἀμμωνίας εἶναι λίαν καυστική, διότι τεθεῖσα ἐπὶ τοῦ δέρματος ἐν ἀκαρεῖ ἐπεφέρει οἴδημα.

§ 187. Χημικαὶ ἰδιότητες.—Ἡ ἀμμωνία εἶναι βάσις λίαν ἐνεργητική. Ὑπὸ ταύτην τὴν ἔποψιν θεωρουμένη ὁμοιάζει πολὺ τὴν πότασσαν, τὴν σόδαν, τὴν τίτανον κτλ. πρασινίζει τὸ σίραιον τῶν ἴων (τὸ σιρόπι τῆς βιολέτας) ἐπαναφέρει εἰς χρῶμα οὐρανὶ τὰς διὰ τῶν ὀξέων ἐρυθρανείσας βαφὰς τοῦ ἡλιοτροπίου, συνδυάζεται ἀμέσως μετὰ τῶν ὀξέων πρὸς ἀπαρτισμὸν διαφόρων ἁλάτων.

Ἡ θερμότης καὶ ὁ ἠλεκτρισμὸς ἀποσυνθέτουσι τὴν ἀμμωνίαν εἰς ἄζωτον καὶ ὑδρογόνον. Τὸ ὀξυγόνον, ὁ ἄνθραξ, τὸ χλώριον, τὸ ἰώδιον καὶ τὸ βρώμιον τὴν ἀποσυνθέτουσιν ἐπίσης.

§ 188. Φυσικὴ κατάστασις.—Ἡ ἀμμωνία ἀναπτύσσεται οἴκοθεν ἐν ταῖς ἀποσυνθέσεσιν ὀργανικῶν οὐσιῶν, αἵτινες περιέχουσιν ἄζωτον. Τινὲς χημικοὶ δοξάζουσιν ὅτι ὑπάρχουσιν ἴχνη ἀμμωνίας εἰς τὴν ἀτμοσφαῖραν. Ἀπαντᾶται τὸ σῶμα τοῦτο ἐν καταστάσει φωσφορίου εἰς τὰ οὖρα, ἐν καταστάσει δὲ χλωρυδρίου εἰς τὰς ἐκκρίσεις τῶν καμήλων. Ὁ ἀνθρακίας τῆς ἀμμωνίας προκύπτει σταθερῶς ἐκ τῆς σήψεως ζωικῶν οὐσιῶν.

§ 189. Κατασκευή.—Κατασκευάζεται ἡ ἀμμωνία ἀποσυνθέσει τοῦ χλωρυδρίου τῆς ἀμμωνίας διὰ τῆς τιτάνου. Εἰσάγεται δὲ ἐντὸς φιάλης μίγμα τῶν δύο σωμάτων κατ᾽ ἴσους ὄγκους. Εἰς ταύτην ἐφαρμόζεται, διὰ πώματος κεχυρτωμένος σωλήν, ὅστις διευθύνεται εἰς δοκιμαστῆρα πλήρη ὑδραργύρου.

§ 190. Χρῆσις τῆς ἀμμωνίας.—Ἡ ἀμμωνία

εἶναι ἐν χρήσει ἐν μὲν τῇ ἰατρικῇ ὡς σῶμα καυστικὸν, ἐν δὲ ταῖς τέχναις μεταχειρίζονται αὐτὴν διὰ νὰ διαλύσωσι τινὰς χρωματιστικὰς οὐσίας, εἰς δὲ τὰ χειμεῖα ὡς δοκιμαστήριον. Εἶναι δὲ ἐν χρήσει ἡ ἀμμωνία διαλελυμένη εἰς τὸ ὕδωρ.

Θεῖον.

§ **191.** Τὸ θεῖον εἶναι γνωστὸν ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων. Οἱ δὲ κατὰ τὸν μεσαιῶνα χημικοὶ ἐθεώρουν αὐτὸ ἓν ἐκ τῶν στοιχείων τῶν μετάλλων, ὡς μαρτυρεῖ τὸ ἑξῆς ἀξίωμα. «omnia metalla ex sulfure et argento vivo consistunt·» «πάντα τὰ μέταλλα σύγκεινται ἐκ θείου καὶ ὑδραργύρου.» Ἐπὶ πολὺ δὲ συνέχεον διὰ τοῦ ὀνόματος δραστικὸν θεῖον πάσας τὰς φλογιστὰς καὶ καυστικὰς ὕλας. Τέλος ὁ Βῆχερ, καὶ Στάλχ ὁ μαθητής του ἐγνώρισαν πρῶτοι περὶ τὸ τέλος τοῦ ΙΖʹ. αἰῶνος τὰς ἰδιότητας αὐτοῦ, οὐχ ἧττον ὅμως καὶ οὗτοι ἐθεώρουν αὐτὸ ὡς σῶμα σύνθετον. Περὶ τὸ τέλος τοῦ τελευταίου αἰῶνος οἱ Γάλλοι χημικοὶ τὸ κατέταξαν μεταξὺ τῶν ἁπλῶν σωμάτων.

§ **192.** Φυσικαὶ ἰδιότητες. — Τὸ θεῖον εἶναι σῶμα στερεὸν κατὰ τὴν συνήθη θερμοκρασίαν, ἔχει χρῶμα κίτρινον, εἶναι ἄοσμον καὶ ἄχυμον. Εἶναι κακὸς ἀγωγὸς τῆς θερμότητος καὶ τοῦ ἠλεκτρισμοῦ. τριβόμενον ἠλεκτρίζεται ῥητινωδῶς καὶ διαδίδει ἀμυδράν τινα ὀσμήν. Εἶναι δὲ λίαν εὔθραστον· ὅθεν ὁ κρατῶν ῥάβδον θειίνην εἰς τὴν χεῖρα ἀκούει ἀλλεπαλλήλως τριγμοὺς καὶ μετ' ὀλίγον αὕτη θραύεται, ἕνεκα τῆς ἀνίσου ἐκτάσεως τῶν μορίων. Τέλος ἡ εἰδικὴ αὐτοῦ βαρύτης εἶναι **2,087.**

Τὸ θεῖον θερμαινόμενον ὑφίσταται ἀξιοσημειώτους τινὰς μεταβολάς· μέχρι δὲ τοῦ 100 τηκόμενον ἀποτελεῖ ὑγρὸν λίαν ῥευστὸν κιτρόχρουν. Παρατηρεῖται ὅτι τὰ τεμάχια τοῦ θείου τὰ μὴ τακέντα μένουσιν εἰς τὸν πυθμένα τοῦ ἀγγείου, ὅπερ ἀποδεικνύει ὅτι τὸ θεῖον ἐκτείνεται μεταβαῖνον ἐκ στερεᾶς εἰς ὑγρὰν κατάστασιν· τὸ δὲ φαινόμενον τοῦτο ἀντίκειται τῷ ἐν τῷ ὕδατι κατὰ τὰς αὐτὰς περιστάσεις παριστανομένῳ. Ἐὰν κατὰ συνέχειαν ὑψοῦται βαθμηδὸν ἡ θερμοκρασία, τὸ θεῖον φαίνεται τηκόμενον καὶ γίνεται ἐπὶ μᾶλλον πηκτὸν καὶ γλοιῶδες, λαμβάνον συγχρόνως χρῶμα ὑπομέλαν. Κατὰ δὲ 260 βαθμοὺς γίνεται τόσον γλοιῶδες, ὥστε δὲν χύνεται ἐκ τοῦ ἀγγείου καὶ ἂν ἀνατραπῇ· καὶ εἰς ὑψηλοτέραν θερμοκρασίαν 300 περίπου βαθμῶν ἀναλαμβάνει πάλιν τὴν πρώτην αὐτοῦ ῥευστότητα, διατηροῦν ὅμως τὸ ὑπομέλαν χρῶμα. Τέλος εἰς 400 βαθμῶν θερμότητα ζέον μεταβαίνει εἰς ἀτμόν, ὅστις εἶναι ὑποκίτρινος, πυκνὸς καὶ ἡ εἰδικὴ αὐτοῦ βαρύτης εἶναι ἑπτάκις μεγαλητέρα τῆς τοῦ ἀέρος.

Ψυχραινόμενον τὸ θεῖον ἠρέμα ἀναλαμβάνει τὴν στερεὰν αὐτοῦ κατάστασιν κρυσταλλούμενον εἰς πρίσματα πλάγια μὲ βάσιν ῥόμβου.

Τακὲν δὲ καὶ ψυχρανθὲν ἀμέσως ἐντὸς τοῦ ὕδατος ἐν ᾧ εἶναι ἀκόμη λίαν ῥευστὸν ἀναλαμβάνει τὴν συνήθη αὐτοῦ σκληρότητα καὶ εἶναι εὔθραυστον καὶ κίτρινον. Μένει δὲ ἐξ ἐναντίας ὑπομέλαν, γλοιῶδες, διαφανές, ἐλαστικόν, ὡς τὸ ἐλαστικὸν κόμμι, ὅταν ῥιφθῇ αἴφνης ἐντὸς ψυχροῦ ὕδατος, ἐνῷ εἶναι ἔτι πηκτόν, ἐνῷ δηλ. ἡ θερμοκρασία του εἶναι 250 περίπου βαθμῶν. Μετ' οὐ πολὺ ὅμως ἀναλαμβάνει τὸ χρῶμα καὶ τὴν σκλη-

ρότητα τὴν συνήθη. Κατὰ τὸν Δουμᾶ ἡ ἰδιαιτέρα αὕτη τοῦ θείου ἰδιότης προέρχεται ἐκ τῆς λανθανούσης θερμότητος, τὴν ὁποίαν τὸ σῶμα τοῦτο κατέχει καὶ ψυχραινόμενον.

§ 193. Χημικαὶ ἰδιότητες. — Τὸ θεῖον ἔχει μεγίστην συγγένειαν πρὸς τὸ ὀξυγόνον. Εἰς θερμοκρασίαν 150 βαθμῶν φλογίζεται ἐν τῷ ἀτμοσφαιρικῷ ἀέρι ἀναδίδον φλόγα ὑποκυανῆν καὶ ὀσμὴν δριμεῖαν καὶ ὅλως ἰδιάζουσαν. Τὸ θεῖον συνδυάζεται πρὸς τούτοις μετὰ τοῦ ὑδρογόνου, τοῦ ἄνθρακος, τοῦ χλωρίου, τοῦ βρωμίου, τοῦ ἰωδίου, ἔτι δὲ καὶ μετὰ τῶν πλείστων μετάλλων. Ἡ δὲ συγγένεια αὐτοῦ μετά τινων μετάλλων εἶναι τοσαύτη, ὥστε ἐν τῷ συνδυασμῷ προκύπτει θερμότης καὶ πῦρ.

§ 164. Φυσικὴ κατάστασις τοῦ θείου. — Τὸ θεῖον ὑπάρχει λίαν δαψιλῶς ἐν τῇ φύσει. Εὑρίσκεται δὲ ἐλεύθερον εἰς τὰ ἡφαίστεια στρώματα τῆς γῆς. Ἐνίοτε ἀποτελεῖ στρώματα κατὰ τὸ μᾶλλον καὶ ἧττον παχέα, ὡς ἐπὶ τὸ πλεῖστον εὑρίσκεται εἰς μικρὰ τεμάχια μεμιγμένα μετά τινων λίθων, ἐνίοτε μάλιστα ἀπαντᾶται ἐν εἴδη ὡραίων καὶ ἡμιδιαφανῶν ὀκταεδρικῶν κρυστάλλων. Ἔτι δὲ εὑρίσκεται συνδυασμένον μετὰ τῶν θειούχων καὶ θειικῶν μετάλλων, εἰς πλείστας θερμὰς πηγάς, ὡς καὶ εἴς τινας ὀργανικὰς οὐσίας ζωικὰς καὶ φυτικάς.

§ 195. Ἐξαγωγή. — Ἐξάγεται τὸ θεῖον ἐκ τῶν ἡφαιστείων στρωμάτων τῆς γῆς, ἅτινα καλοῦνται θειωρρυχεῖα, ἔνθα εὑρίσκεται μεμιγμένον μετὰ γεωδῶν οὐσιῶν. Ἀποχωρίζεται δὲ τούτων διὰ δύο διυλίσεων ἐξ ὧν, ἡ μὲν γινομένη εἰς τὸν τόπον τῆς ἐξαγωγῆς παρέχει τὸ θεῖον ἀκάθαρτον, ἡ δὲ γίνεται συνήθως εἰς τὸν τόπον τῆς καταναλώσεως.

§ 196. Χρῆσις.— Τὸ θεῖον εἶναι εὐχρηστότατον εἰς τὴν ἰατρικὴν καὶ τὴν βιομηχανίαν. Ἐν μὲν τῇ ἰατρικῇ χρησιμεύει εἰς τὰς δερμικὰς ἀσθενείας, ἐν δὲ τῇ βιομηχανίᾳ εἰς κατασκευὴν τῆς πυρίτιδος, τοῦ θειώδους ὀξέος καὶ τοῦ θειικοῦ ὀξέος. Ἔτι δὲ χρησιμεύει εἰς κατασκευὴν διαφόρων ἐναυσμάτων.

Θειικὸν ὀξύ.

§ 197. Τὸ θειικὸν ὀξὺ ἀνεκαλύφθη κατὰ τὸ μέσον τοῦ ΙΕ΄. αἰῶνος ὑπὸ τοῦ Β. Βαλεντίνου περιφήμου ἀλχημικοῦ. Ἐπὶ πολὺ δὲ οἱ χημικοὶ ἐθεώρουν αὐτὸ ὡς προϋπάρχον ἐντὸς τοῦ θείου. Ἀλλ' ὁ Λαβοαζιὲ πρῶτος ἔγνω τὴν οὐσίαν καὶ σύνθεσιν τοῦ σώματος τούτȣ ἀποδεικνύων ὅτι εἶναι σύνθετον ἐξ ὀξυγόνου καὶ θείου, ὡς τὸ θειῶδες ὀξύ. Τὸ θειικὸν ὀξὺ, ἐκαλεῖτο ἄλλοτε χαλκανθικὸν ὀξὺ, ἔλαιον χαλκάνθης, ἐπειδὴ κατεσκευάζετο διὰ τῆς διηθήσεως τοῦ θειίου τοῦ σιδήρου, ὅστις καλεῖται πρασίνη χαλκάνθη.

§ 198. Φυσικαὶ ἰδιότητες.— Τὸ θειικὸν ὀξὺ παρίσταται κατὰ δύο διακεκριμένας μορφὰς ά.) τὸ ἄνυδρον καὶ ϐ΄.) τὸ ὑδαρές.

Τὸ ἄνυδρον θειικὸν ὀξὺ ΘO^3 εἶναι στερεὸν, λευκὸν, σκιερὸν κεκρυσταλλωμένον εἰς θυσάνους μεταξοειδεῖς, ὡς ὁ ἀμίαντος. Τήκεται εἰς 20° καὶ ἐξατμίζεται εἰς 30° . Ἡ εἰδικὴ αὐτοῦ βαρύτης εἶναι 1,97 σχεδὸν διπλασία τῆς τοῦ ὕδατος. Διαδίδει δὲ εἰς τὸν ἀέρα ἀφθόνους ἀτμοὺς, οἵτινες προκύπτουσιν ἐκ τοῦ συνδυασμοῦ του μετὰ τῶν ὑδατωδῶν ἀτμῶν τῶν ἐν τῇ ἀτμοσφαίρᾳ. Ὅταν δὲ ἔλθῃ εἰς ἐπαφὴν μετὰ τοῦ ὕδατος διαλύεται εὐθὺς

προξενοῦν κρότον ὅμοιον μὲ τὸν ἀποστελούμενον, ὅταν ῥίπτηται πεπυρακτωμένος σίδηρος εἰς τὸ ὕδωρ.

Τὸ δὲ ὑδαρὲς $ΘΟ^3$ ΥΟ εἶναι ὑγρὸν ἄχρουν, ἄοσμον συστάσεως ἐλαιώδους· ὅθεν ἐκλήθη ἔλαιον χαλκάνθης. Ἡ εἰδικὴ αὐτοῦ βαρύτης κατὰ τὴν θερμοκρασίαν 20° εἶναι 1,842 ὑποβαλλόμενον εἰς ψύχρανσιν—34 βαθμῶν κρισταλλοῦται εἰς πρίσματα ἑξαεδρικά· διὸ εἰς θερμοκρασίαν 325° ζέει, ὅτε καὶ δύναται νὰ διηθηθῇ.

§ 199. Χημικαὶ ἰδιότητες.— Ἡ θερμότης ἀποσυνθέτει τὸ θειικὸν ὀξὺ εἰς θειῶδες ὀξὺ καὶ εἰς ὀξυγόνον· τὸ δὲ ὑδρογόνον, ὁ ἄνθραξ καὶ τὸ θεῖον ἀποσυνθέτουσιν αὐτὸ εἰς μετρίαν θερμοκρασίαν. Τὸ ὑδρογόνον μεταβάλλει αὐτὸ εἰς ὕδωρ καὶ εἰς θειῶδες ὀξὺ $ΘΟ^3$ $ΥΟ+Υ=ΘΟ^2+2ΥΟ$ ὁ ἄνθραξ μεταβάλλει αὐτὸ εἰς θειῶδες ὀξύ, εἰς ἀνθρακικὸν ὀξὺ καὶ εἰς ὕδωρ $2ΘΟ^3$ $ΥΟ+ΑΝ=2ΘΟ^2+ΑΝΟ^2+2ΥΟ$· τὸ θεῖον μεταβάλλει αὐτὸ ὁλόκληρον εἰς θειῶδες ὀξὺ καὶ εἰς ὕδωρ, ὡς $2ΘΟ^3$ $ΥΟ+Θ=3ΘΟ^2+2ΥΟ$. Τὰ πλεῖστα τῶν μετάλλων ἐνεργοῦσιν ἐπὶ τοῦ θειικοῦ ὀξέος, καὶ τὰ μέν· οἷον ὁ ψευδάργυρος καὶ ὁ σίδηρος, ἀποσυνθέτουσι τὸ ἐν τῷ ὀξεῖ ἐμπεριεχόμενον ὕδωρ, καὶ τὸ μὲν ὑδρογόνον ἐξάγεται, τὸ δὲ ὀξυγόνον μένον ἀποτελεῖ τοὺς διαφόρους θειίας ὡς $ΘΟ^3$ $ΥΟ+Ψ=Υ+ΨΟ,ΘΟ^3$ · τὰ δέ, οἷον ὁ χαλκὸς καὶ ὁ ὑδράγυρος, ἀποσυνθέτουσι μέρος τοῦ θειικοῦ ὀξέος, τὸ ὁποῖον μεταβάλλεται εἰς θειῶδες ὀξὺ μεταποιοῦνται αὐτὰ ταῦτα εἰς θειίας μετὰ τοῦ ὀξέος τοῦ μὴ ἀποσυντεθέντος ὡς $2ΘΟ^3$ $ΥΟ+ΧΑΛ=ΘΟ^2+ΧΑΛΟ,ΘΟ^3+2ΥΟ$. Ὁ χρυσὸς ἡ πλατίνα, τὸ παλλάδιον, τὸ ῥόδιον καὶ καὶ τὸ ἰρίδιον οὐδόλως ἐνεργοῦσιν ἐπὶ τοῦ θειικοῦ ὀξέος.

Τὸ θειικὸν ὀξὺ εἶναι ἐκ τῶν δραστικωτάτων ὀξέων,

καίει καὶ καταστρέφει πλείστας ὀργανικὰς οὐσίας π. χ. τιθέμενον ἐντὸς αὐτοῦ τεμάχιον ξύλου πάραυτα φαίνεται μελανούμενον· τοῦτο δὲ προκύπτει ἐκ τῆς μεγάλης συγγενείας τοῦ θειικοῦ ὀξέος πρὸς τὸ ὕδωρ. Ὅταν τὰ δύο ταῦτα ὑγρὰ ἑνόνωνται ἡ θερμοκρασία ὑψοῦται μέχρι 100° Ἕνεκα τῆς πρὸς τὸ ὕδωρ συγγενείας αὐτοῦ· ἐκτεθειμένον εἰς ἐπαφὴν ὑγροῦ ἀτμοσφαιρικοῦ ἀέρος αὐξάνει κατὰ τὸν ὄγκον καὶ λαμβάνει χρῶμα ὠχρόν. Ὁ δὲ χρωματισμὸς οὗτος μεταδίδεται εἰς τὰ διάφορα τεμάχια τῆς κόνεως, τὴν ὁποίαν ἀποῤῥοφᾷ.

Ὁ Πάγος ἑνούμενος μετὰ τοῦ θειικοῦ ὀξέος προάγει θερμότητα καὶ ψῦχος ἀναλόγως τῆς ποσότητος αὐτοῦ τε καὶ τοῦ ὀξέος π. χ. τέσσαρα μέρη ὀξέος καὶ ἓν μέρος πάγου, ἐξάγουσι θερμότητα, τὸ δ' ἀνάπαλιν δηλ. 4 πάγου καὶ ἓν ὀξέος ἐξάγουσι ψῦχος. Ἀλλὰ τὰ δύο ταῦτα ἀντίθετα ἀποτελέσματα ἐξηγοῦνται εὐκόλως. Εἰς τὴν πρώτην π. χ. περίστασιν ἡ χημικὴ ἐνέργεια τοῦ ὕδατος καὶ τοῦ θειικοῦ ὀξέος προξενεῖ περισσοτέραν θερμότητα, παρ' ὅσην δύναται ν' ἀποῤῥοφήσῃ ὁ πάγος ἀναλυόμενος· εἰς δὲ τὴν δευτέραν περίπτωσιν ἡ χημικὴ ἐνέργεια προάγει ὀλιγωτέραν.

§ 200. Φυσικὴ κατάστασις.—Τὸ θειικὸν ὀξὺ δὲν εἶναι κοινὸν ἐν τῇ φύσει ἐν ἐλευθέρᾳ καταστάσει. Ἀπαντᾶται δὲ εἰς ὀλίγην ποσότητα ἐντὸς τῶν ὑδάτων λιμνῶν τινων τῆς μεσημβρινῆς Ἀμερικῆς καὶ εἰς τὰ πέριξ τῶν πυριπνόων ὀρέων, ἔνθα παράγεται διὰ τῆς ἑνώσεως τοῦ θειώδους ὀξέος καὶ τοῦ ἀτμοσφαιρικοῦ ἀέρος, συνεργούσης τῆς πυρώδους καὶ τῆς ἐμπύρου λάβας. Ἐν συνδιασμῷ δὲ τὸ θειικὸν ὀξὺ ἀπ' ἐναντίας κοινότατον ὂν εἰς τὴν φύσιν, ἀπαντᾶται σχεδὸν παντοῦ μετὰ τῆς τιτάνου, τῆς βαρύτιδος, τῆς στροντιανῆς, τῆς μαγνησίας κτλ.

Φωσφόρος.

Ὁ Φωσφόρος ἀνεκαλύφθη ἐν ἔτει 1669 ὑπὸ τοῦ

χημικοῦ Βρανδίλτη, ὅστις ἐλπίζων ὅτι θέλει ἀνακαλύψῃ τὸν φιλοσοφικὸν λίθον, δηλαδὴ τὸ μέσον δι' οὗ νὰ μεταποιῇ τὰ μέταλλα εἰς χρυσὸν, ἐπιμόνως ἠρεύνησε τὰ οὖρα. Μετ' οὐ πολὺ χημικός τις ὁ Κάγκελ, ἀφ' οὗ ὁ Βρανδίλτης ἀπέκρυψε τὸ μυστικὸν, κατώρθωσε διὰ πολλῶν μόχθων νὰ ἐξαγάγῃ αὐτὸ ἐκ τοῦ αὐτοῦ ὑγροῦ διακαίων τὸ ἴζημα τὸ μετὰ τὴν ἐξάτμισιν αὐτοῦ· ἀλλ' οὕτω μικρά τις μόνον ποσότης φωσφόρου κατεσκευάζετο· ὅθεν μέχρι τοῦ 1769 μεγίστη αὐτοῦ ὑπῆρχε σπάνις. Μετὰ δὲ ταῦτα ὁ Τὰνχ καὶ ὁ Σχέελ ἀνεκάλυψαν καὶ ἐδημοσίευσαν τὸν τρόπον τῆς κατασκευῆς αὐτοῦ ἐξ ὀστῶν.

§ 201. Ὁ Φωσφόρος εἶναι σῶμα στερεὸν ἐν τῇ συνήθει θερμοκρασίᾳ, σχεδὸν ἄχρους, ὑποδιαφανὴς, φωτεινὸς ἐν τῷ σκότει, ὅθεν καὶ τῆς προσηγορίας ἔτυχεν. Ἔτι δὲ ἄχυμος καὶ ὀσμῆς σκοροδοειδοῦς, εἶναι δὲ τόσον ἁπαλὸς, ὥστε χαράττεται διὰ τοῦ ὄνυχος. Εἶναι δὲ ἀδιάλυτος εἰς τὸ ὕδωρ, εἰς τὸν αἰθέρα ὅμως καὶ εἰς τὸ οἰνόπνευμα ὀλίγον, πολὺ δὲ εἰς τὰ φυτικὰ ἔλαια καὶ εἰς τὸν θειοῦχον ἄνθρακα. Τήκεται δὲ εἰς τὸν 44 καὶ ζέει εἰς 290, ἡ εἰδικὴ αὐτοῦ βαρύτης εἶναι 1,77.

§ 202. Χημικαὶ ἰδιότητες.—Ὁ φωσφόρος ἔχει μεγίστην συγγένειαν πρὸς τὸ ὀξυγόνον· ὅθεν φλέγεται ἐκτιθέμενος εἰς τὸν ἐλεύθερον ἀέρα ἐν τῇ συνήθει θερμοκρασίᾳ. Ἐὰν δὲ τεθῇ τεμάχιον φωσφόρου εἰς δοκιμαστῆρα περιέχοντα ὡρισμένην ποσότητα ἀτμοσφαιρικοῦ ἀέρος· ὁ ὄγκος τοῦ ἀέρος κατὰ μικρὸν ἐλαττοῦται, μετ' οὐ πολὺ δὲ μένει εἰς τὸν δοκιμαστῆρα μόνον τὸ ἄζωτον· ἀλλ' ὁ φωσφόρος τιθέμενος ἐντὸς καθαροῦ ὀξυγόνου δὲν φέγγει, εἰμὴ ἐν θερμοκρασίᾳ 20—30 βαθμῶν.

§ 203. Φυσικὴ κατάστασις.—Ὁ φωσφόρος δὲν ἀπαντᾶται ἐν τῇ φύσει ἐλεύθερος, ἀλλὰ συνδυασμένος μετ' ἄλλων σωμάτων. Ἐν μὲν τοῖς οὔροις, ὡς φωσφορίας ἀμμωνίας καὶ σόδας· ἐν δὲ τοῖς ὀστοῖς, ὡς φωσφορίας τιτάνου, ἐν δὲ τοῖς δημητριακοῖς καρποῖς, ὡς φωσφορίας μαγνησίας. Ἔτι δὲ ἀποτελεῖ μέρος συστατικὸν τοῦ ἐγ-

κεφάλου καὶ τῶν νεύρων ὅλων τῶν ἐνθήλων ζώων. Τέλος εἴς τινα στρώματα τῆς γῆς ἀπαντᾶται φωσφορίας τιτάνου καὶ εἴς τινα μεταλλεῖα, ὡς φωσφορίας σιδήρου καὶ μολύβδου.

§ 204· Κατασκευή.—Ὁ φωσφόρος ἐξάγεται ἐκ τοῦ φωσφορίου τῆς τιτάνου τοῦ περιεχομένου εἰς τὰ ὀστᾶ. Κατ' ἀρχὰς καίονται τὰ ὀστᾶ διὰ νὰ καταστραφῇ ἡ ἐν αὐτοῖς ζωικὴ ὕλη· εἶτα δὲ λαμβάνοντα χρῶμα λευκὸν, γίνονται εὔθραστα· σύγκεινται δὲ τότε ἐξ 77 φωσφορίου τριβασικοῦ τῆς τιτάνου καὶ 20 ἀνθρακίου τῆς τιτάνου. Τούτου δὲ γενομένου, τρίψαντες τὰ ὀστᾶ προσθέτομεν εἰς τὴν κόνιν αὐτῶν θειικὸν ὀξὺ ὑδαρές. Τὸ δὲ μίγμα τοῦτο μετὰ 24 ὥρας διηθοῦμεν διὰ δέρματος αἰγάγρου. Τὸ μὲν ἀδιάλυτον μέρος τοῦ ὑγροῦ μένει ἐντὸς τοῦ δέρματος, τὸ δὲ διαλυτὸν ἐμβάλλοντες εἰς λέβητα χάλκινον ἐξατμίζομεν τοσοῦτον, ὥστε νὰ μένῃ ἐντὸς τοῦ ἀγγείου πικνόν τι σίραιον. Ἔπειτα ἐν τῷ ὑγρῷ τούτῳ προσθέτομεν ἄνθρακας ἐν εἴδει κόνεως, τὸ τρίτον περίπου τοῦ βάρους τοῦ ὑγροῦ. Τὴν δὲ μάζαν τοῦ μίγματος τούτου θερμαίνομεν σχεδὸν μέχρις ἐρυθροπυρώσεως καὶ εἰσάγομεν αὐτὴν εἰς κέρας πήλινον τεθειμένον ἐντὸς ὑποκαύστου καὶ συγκυνονοῦν μὲ σωλῆνα ἐπιμήκη χάλκινον. Οὗτος δὲ ἐκτεινόμενος κυρτοειδῶς εἰσάγεται ἐντὸς λαγήνου δυστόμου περιεχούσης ὕδωρ· Οὕτω τέλος ὁ φωσφόρος ῥέων διὰ τοῦ σωλῆνος καταστάλάζει εἰς τὸν πυθμένα τῆς λαγήνου.


§ 205. Θεωρία.—Ἐλέχθη ἤδη ὅτι τὰ ὀστᾶ καέντα σύγκεινται ἐξ 20 μερῶν ἀνθρακίου τῆς τιτάνου $ΤΟ, ΑΝΟ^2$ καὶ 77 φωσφορίου τριβασικοῦ τῆς τιτάνου $(ΤΟ)^3, ΦΟ^5$. Τὸ δὲ θειικὸν ὀξὺ ἀποσπᾷ τὴν τίτανον τοῦ ἀνθρακίου καὶ μέρος τι τῆς βάσεως τοῦ φωσφορίου· μένουσι δὲ ἀνθρακικὸν ὀξὺ $ΑΝΟ^2$, ὅπερ ἐξάγεται, θειίας τῆς τιτάνου $ΤΟ, ΘΟ^3$, ὅστις καταπίπτει, καὶ φωσφορίας μονοβασικὸς τῆς τιτάνου $ΤΟ. ΦΟ^5$ διαλυόμενος ἐν τῷ ὕδατι, $ΤΟ, ΑΝΟ^2 + (ΤΟ)^3 ΦΟ^5 + ΘΟ^3$,

$YO = ANO^2 + 3 (TO. \theta O^3, YO) + TO, \Phi O^5, 3YO$. Διηθοῦντες δὲ τὸν θειίαν τῆς τιτάνου ἀδιάλυτον ὄντα, χωρίζομεν αὐτὸν τοῦ φωσφορία τῆς τιτάνου, ὅστις μένει ἐν διαλύσει· ὁ δὲ φοσφορίας οὗτος τῆς τιτάνου θερμανθεὶς μετὰ ταῦτα μέχρις ἐρυθροπυρώσεως μεμιγμένος ὢν μετὰ κόνεως ἀνθράκων, μεταβάλλεται εἰς φωσφορίαν διττοβασικὸν $(TO)^2 \Phi O^5$, ὅστις μένει εἰς τὸ κέρας, καὶ εἰς φωσφορικὸν ὀξὺ ΦO^5, ὃν ὁ ἄνθραξ ἀποσυνθέτει εἰς φωσφόρον, ὅστις ἐξάγεται, καὶ εἰς ὀξείδιον τοῦ ἄνθρακος $^2(TO, \Phi O^5) + 5AN = 5ANO + (TO)^2, \Phi O^5 + \Phi$.

Φωσφοροῦχον ὑδρογόνον.

§ 206. Φυσικὴ κατάστασις. — Τὸ φωσφοροῦχον ὑδρογόνον ἀναπτύσσεται οἴκοθεν ἐν τῇ ἀποσυνθέσει τῶν ζωικῶν οὐσιῶν, αἵτινες περιέχουσι φωσφόρον· αὐτὸ παράγει τὰς ἐν τοῖς ἕλεσι καὶ τοῖς νεκροταφείοις φωτεινὰς ἀτμίδας.

§ 207. Κατασκευή.— Κατασκευάζεται τὸ φωσφοροῦχον ὑδρογόνον διὰ τῆς ἐν ὑελίνῳ κέρατι θερμάνσεως μίγματος φωσφόρου καὶ ὑγρᾶς τιτάνου. Τοῦ μὲν ὕδατος ἀποσυντιθεμένου, τὸ ὑδρογόνον αὐτοῦ ἑνοῦται μετά τινος μέρους τοῦ φωσφόρου διὰ ν' ἀποτελέσῃ τὸ φωσφοροῦχον ὑδρογόνον, τὸ δὲ ὀξυγόνον αὐτοῦ ἑνοῦται μετὰ τοῦ λοιποῦ φωσφόρου καὶ παράγει τὸ ὑποφωσφορῶδες ὀξὺ, ὅπερ μετὰ τῆς τιτάνου ἀποτελεῖ τὸν ὑποφωσφορίαν, ὅστις μένει ἐν τῷ κέρατι. Συναθροίζεται δὲ τὸ ἀέριον ἢ ἐν τῷ ὕδατι ἢ ἐν τῷ ὑδραργύρῳ. Ἐξελθὸν



Σχῆμα 83.—

δὲ τῆς ἐπιφανείας τοῦ ὕδατος ἢ τοῦ ὑδραργύρου καὶ ἑνούμενον μετὰ τοῦ ἐν τῷ ἀέρι ὑπάρχοντος ὀξυγόνου φλέγεται (Σχ. 83).

Χλώριον.

§ 208. Τὸ Χλώριον ἀνεκαλύφθη ἐν ἔτει 1774 ὑπὸ Σχέελ, ὅστις ὠνόμασεν αὐτὸ θαλάσσιον ὀξὺ ἀφλόγιστον, ὁ δὲ Λαβοαζιὲ ὑπολαβὼν τὸ σῶμα τοῦτο ὡς σύνθετον ἐξ ὑδροχλωρικοῦ ὀξέος καὶ ὀξυγόνου τὸ ὠνόμασεν ὑδροχλωρικὸν ὀξὺ ὀξυγονικόν. Τέλος τῷ 1809 ἔτει ὁ Θενάρδος ἐν Γαλλίᾳ καὶ ὁ Δάϐυδ ἐν Ἀγγλίᾳ ἔγνωσαν ὅτι τὸ χλώριον εἶναι σῶμα ἁπλοῦν.

§ 209. Φυσικαὶ ἰδιότητες.—Τὸ χλώριον εἶναι ἀέριον κίτρινον ὑποπράσινον ὀσμῆς ἰσχυρᾶς, πνιγηρᾶς καὶ ἰδιαζούσης αὐτῷ. Ἡ εἰδικὴ βαρύτης αὐτοῦ εἶναι 2,44 εἶναι δὲ διαλυτὸν εἰς τὸ ὕδωρ εἰς τὴν συνήθη θερμοκρασίαν. Τὸ ὕδωρ ἀποῤῥοφᾷ τριπλάσιον ἑαυτοῦ ὄγκον τοῦ ἀερίου τούτου· ἡ δὲ διάλυσις αὐτοῦ ἐν τῷ ὕδατι εἶναι ὁμόχρους τῷ ἀερίῳ· ψυχραινόμενον δὲ κατὰ 2 ἕως 3 βαθμοὺς παράγει κρύσταλλα ὑποκίτρινα, πτυχώδη συγκείμενα ἐξ 28 μερῶν χλωρίου καὶ 72 ὕδατος. ἐκ τούτων κατασκευάζεται εὐκόλως, χλώριον ὑγρὸν ὡς ἑξῆς· συναθροίσαντες τὰ κρύσταλλα ταῦτα καὶ ξηράναντες αὐτὰ διὰ διηθητικοῦ χάρτου τὰ εἰσάγομεν εἰς σωλῆνα κυρτὸν, εἶτα βιθύζομεν τὸν βραχιόνα αὐτοῦ τὸν περιέχοντα τὰ κρύσταλλα ἐντὸς ὕδατος ἔχοντος θερμοκρασίαν 35 ὑπὲρ τὸ μηδενικὸν μετὰ δὲ τὴν κατάδυσιν τοῦ σωλῆνος τὸ μὲν χλώριον οὐ μόνον τήκεται ἀλλὰ καὶ εἰς ἀτμὸν μεταποιεῖται, ὁ δὲ ἀτμὸς συμπυκνούμενος συμπιλοῦται ἐν ὑγρᾷ καταστάσει εἰς τὸν δεύτερον βραχίονα. Τὸ χλώριον εἶναι λίαν δραστικὸν, διότι εἰσαγομένον εἰς τὸν πνεύμονα διεγήρει βῆχα καὶ δύναται μάλιστα νὰ ἐπιφέρῃ βίαιον ἐρεθισμὸν εἰς τοὺς βρόγχους μεθ' αἱματοπτυσίας.

§ 223. **Χημικαὶ ἰδιότητες.**— Πρὸς τὸ ὑδρογόνον μάλιστα τὸ χλώριον ἔχει τὴν μεγίστην συγγένειαν· ὅθεν ἐὰν ἑνώσαντες ἴσους ὄγκους τῶν δύο ἀερίων ἐντὸς λαγήνου ἐκθέσωμεν τὸ μίγμα τοῦτο εἰς τὴν ἄμεσον ἐνέργειαν τῶν ἡλιακῶν ἀκτίνων ἀκούομεν ἀκαριαίως βιαίαν ἐκπυρσοκρότησιν μεθ' ἣν παράγεται ὑδροχλωρικὸν ὀξύ. Ἡ φλὸξ καὶ ὁ ἠλεκτρικὸς σπινθὴρ ἐπίσης συνδυάζουσι τὰ δύο ταῦτα ἀέρια, τὸ μὲν ἀμυδρὸν φῶς βραδέως καὶ ἄνευ ἐκπυρσοκροτήσεως συνδυάζει αὐτά. Ἐν δὲ τῷ σκότει τὸ μίγμα τῶν δύο ἀερίων μένει ἀμετάβλητον. Ἔτι δὲ ἡ συγγένεια τοῦ χλωρίου πρὸς τὸ ὑδρογόνον εἶναι τοσοῦτον ἰσχυρά, ὥστε ἀποσυνθέτει σχεδὸν πάσας τὰς ὀρυκτὰς ἢ φυτικὰς οὐσίας, ἐν αἷς περιέχεται ὑδρογόνον, τὸ χλώριον π. χ. ἀποσυνθέτει τὸ ὕδωρ ἀφαιροῦν ἐξ αὐτοῦ τὸ ὑδρογόνον καὶ ἀφίνων ἐλεύθερον τὸ ὀξυγόνον. Ἐὰν ἐκτεθῇ εἰς τὰς ἡλιακὰς ἀκτῖνας διάλυσις χλωρίου τὸ ὕδωρ ἀποσυντίθεται καὶ ἀποτελεῖται ὑδροχλωρικὸν ὀξὺ καὶ ὑποχλωρῶδες ὀξύ. Αἱ κεχρωματισμέναι φυτικαὶ οὐσίαι εἰσὶ σύνθετοι ἐξ ὀξυγόνου, ὑδρογόνου, ἄνθρακος, ἐνίοτε δὲ καὶ ἀζώτου. Τὸ δὲ χλώριον ἑνούμενον μετὰ τῶν οὐσιῶν τούτων καταστρέφει αὐτὰς ὁλοτελῶς καὶ ἐνίοτε μὲν ἀφαιρεῖ ἐξ αὐτῶν τὸ ὑδρογόνον καὶ ἀποτελεῖ ὑδροχλωρικὸν ὀξύ· ἄλλοτε δὲ ἀποσυνθέτει τὸ ἐν αὐταῖς ὕδωρ. Τὸ δὲ ὀξυγόνον μένον ἐλεύθερον καὶ φερόμενον πρὸς τὰς χρωματιστικὰς οὐσίας καταστρέφει αὐτῶν τὴν χρωματιστικὴν δύναμιν.

§ 224. **Φυσικὴ κατάστασις τοῦ χλωρίου.**— Τὸ χλώριον δὲν ὑπάρχει ἐν τῇ φύσει ἐλεύθερον, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον ἐν συνδυασμῷ μετὰ πολλῶν μετάλλων, ἰδίως δὲ μετὰ τοῦ σοδίου, τοῦ τιτανίου, τοῦ μαγκανησίου, τοῦ ἀργύρου, τοῦ σιδήρου καὶ τοῦ χαλκοῦ. Ἐν ἀφθονίᾳ δὲ ἀπαντᾶται τὸ χλώριον εἰς τὸ χλωροῦχον σόδιον, ὅπερ ὁ ὄχλος καλεῖ μαγειρικὸν ἅλας· τὸ ἅλας τοῦτο εἶναι λίαν διακεχυμένον εἰς τὴν φύσιν· ἐπειδὴ ἀπαντᾶται εἰς τὰ ὕδατα τῆς θαλάσσης, τῶν λιμνῶν, τῶν ποταμῶν, ἔτι δὲ

καὶ ὀρυκτόν. Τέλος δὲ καὶ εἰς τὸ μέσον τοῦ κορμοῦ πολλῶν φυτῶν κτλ.

§ 225. Κατασκευὴ αὐτοῦ.— Τὸ χλώριον κατασκευάζεται διὰ δύο τρόπων α'.) διὰ τῆς ἀποσυνθέσεως τοῦ ὑδροχλωρικοῦ ὀξέος διὰ τοῦ διττοξειδίου τοῦ μαγκανησίου· β'.) διὰ τῆς ἀποσυνθέσεως τοῦ χλωρούχου σοδίου διὰ τοῦ διττοξειδίου τοῦ μαγκανησίου ἢ διὰ τοῦ κοινοῦ θειικοῦ ὀξέος.


Α'. Τρόπος. Ἐμβάλλομεν ἐντὸς ὑελίνης λαγήνου τεθειμένης ἐφ' ἑστίας διττοξείδιον τοῦ μαγκανησίου καὶ ὑδροχλωρικὸν ὀξύ. Τὸ ἀέριον ἐν πρώτοις διέρχεται διὰ λαγήνου τριστόμου περιεχούσης ὕδωρ εἰς κάθαρσιν αὐτοῦ· ἔπειτα φέρεται εἰς δευτέραν λάγηνον τὴν περιέχουσαν ὕδωρ, ἔνθα διαλύεται· δυνάμεθα δὲ νὰ μεταχειρισθῶμεν τὴν τρίτην λάγηνον ἄνευ ὕδατος καὶ τότε τὸ χλώριον βαρύτερον ὄν, ἐκτοπίζον τὸν ἀτμοσφαιρικὸν ἀέρα πληροῖ τὴν λάγηνον μέχρι τοῦ στομίου.

§ 226. Θεωρία.— Ἡ χημικὴ ἐνέργεια γίνεται μετὰ δύο ἰσοδυνάμων ὑδροχλωρικοῦ ὀξέως καὶ ἑνὸς διττοξειδίου τοῦ μαγκανησίου· τὰ δύο ἰσοδύναμα τοῦ ὑδρογόνου τοῦ εἰς τὸ ὀξὺ περιεχομένου φερόμενα πρὸς τὰ δύο ἰσοδύναμα τοῦ ὀξυγόνου, τοῦ ἐν τῷ ὀξειδίῳ, ἀποτελοῦσι τὸ ὕδωρ. Καὶ ἓν μὲν ἰσοδύναμον τοῦ χλωρίου ἐξάγεται, τὸ δὲ ἕτερον συνδυαζόμενον μετὰ τοῦ μαγκανησίου παράγει τὸ χλωροῦχον μαγκανήσιον, ὅπερ μένει εἰς τὴν λάγηνον $ΜΑΓΟ^2 + 2ΥΧ = Χ + 2ΥΟ + ΜΑΓΧ$.

Β'. Τρόπος. Τοῦ ἐργαλείου μένοντος τοῦ αὐτοῦ ἀντικαθιστῶμεν μόνον τὸ ὑδροχλωρικὸν ὀξὺ καὶ τὸ διττοξείδιον τοῦ μαγκανησίου διὰ μίγμαματος τεσσάρων μερῶν μαγειρικοῦ ἅλατος, δύο θειικοῦ ὀξέος καὶ ἑνὸς διττοξειδίου τοῦ μαγκανησίου· ὁ τρόπος οὗτος εἶναι προτιμότερος τοῦ προηγουμένου, διότι ἡ ἐξαγωγὴ τοῦ ἀερίου γίνεται τακτικωτέρα καὶ ἀφθονωτέρα.

Ἐὰν δὲ πρόκειται νὰ κατασκευάσωμεν διάλυσιν

τοῦ χλωρίου ἐν τῷ ὕδατι μεταχειριζόμεθα τὸ ὑπὸ τοῦ Βολφίου ἐπινοηθὲν σκεῦος, ὡς ἑξῆς· Τὸ χλώριον κατασκευασθὲν, εἴτε κατὰ τὸν πρῶτον, εἴτε κατὰ τὸν δεύτερον τρόπον μεταβιβάζεται ἐν πρώτοις εἰς λάγηνον περιέχουσαν μικρὰν ποσότητα ὕδατος μετὰ δὲ ταῦτα διέρχεται ἀλληλοδιαδόχως σειρὰν λαγήνων περιεχουσῶν μικρὰν ποσότητα ὕδατος ἔνθα διαλύεται τὸ ἀέριον. Τέλος τὸ σκεῦος ὁλόκληρον τελευτᾷ εἰς δοκιμαστῆρα πλήρη τιτάνου καὶ ποτάσσης διαλελυμένης εἰς ἀποῤῥόφησιν τοῦ περιττοῦ χλωρίου (Σχ. 84).



Σχῆμα 84.—

§ 227. Χρῆσις αὐτοῦ. Τὸ χλώριον χρησιμεύει τὰ μέγιστα εἰς τὸν κοινωνικὸν βίον δι᾽ αὐτοῦ λευκαίνονται τὰ ἐξ ἐρίου ὑφάσματα, τὰ λινᾶ καὶ τὰ βαμβακερὰ, ὁ χάρτης, καὶ ἐνγένει καταστρέφονται ὑπ᾽ αὐτοῦ ἅπασαι αἱ ὀργανικαὶ οὐσίαι, ὅθεν οὕτως ἐκπλύνεται μελάνη καθαρίζονται τὰ μέρη ἔνθα ἀναπτύσσονται σεσηπότα μιάσματα, δι᾽ αὐτοῦ τέλος ἐπανέρχονται εἰς τὴν ζωὴν οἱ παθόντες ἀσφυξίαν ὑπὸ τοῦ ὑδροθειικοῦ ὀξέος.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΣΤΟΙΧΕΙΩΔΕΙΣ ΤΙΝΕΣ ΓΝΩΣΕΙΣ ΕΚ ΤΗΣ ΓΕΩΛΟΓΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ Η΄.


Γενικὴ σύστασις τῶν στερεῶν μερῶν τῆς ἐπιφανείας τῆς γῆς.

§ 228. Ἡ ἐπιφάνεια τῆς γῆς παριστᾷ πολυάριθμα καὶ πολυειδῆ ὀρυκτὰ, τὸ δὲ ἄθροισμα αὐτῶν ἀποτελεῖ τὸν ἐπίπαγον, ἤτοι τὸν φλοιὸν τῆς γῆς.

Πάντα ταῦτα τὰ ὀρυκτὰ, τὰ καλούμενα ὄχθοι διαφέρουσι πρὸς ἄλληλα κατά τε τὴν χημικὴν φύσιν καὶ τὴν σύστασιν τῶν μορίων· διότι τὰ μὲν, οἷον ὁ γρανίτης, οἱ ἀμμῖται, οἱ τιτανώδεις λίθοι εἰσὶ τραχέα καὶ στερεὰ, τὰ δὲ, οἷον ἡ ἄργιλλος, ἡ ἄμμος κτλ. ἁπαλὰ καὶ ἄνευ συνοχῆς. Ἡ δὲ λέξις ὄχθος, ἥτις κατὰ τὴν κοινὴν γλῶσσαν διεγείρει τὴν ἰδέαν στερεοῦ τινος καὶ τραχέος, ἐν τῇ γεωλογίᾳ σημαίνει πᾶν εἶδος ὀρυκτῆς ὕλης, ἀποτελούσης ὅλον τι, εἴτε τραχὺ, εἴτε ἁπαλὸν, εἴτε κονιοειδές. Ἡ ἰδιαιτέρα σπουδὴ ἑκάστης οὐσίας ὀρυκτῆς συντεθειμένης ἐν τοῖς ὄχθοις, θεωρουμένοις ὡς πρὸς τὴν ἀρχικὴν καταγωγὴν, τὴν ἀμοιβαίαν σχέσιν καὶ τὴν μετοχὴν αὐτῶν εἰς τὴν σύστασιν ὅλης τῆς σφαίρας, ἀνήκει εἰς τὴν γεωλογίαν.

Διάταξις τῶν ὄχθων.—Στιβάδωσις

§ 229. Ὅλοι οἱ διάφοροι ὄχθοι οἱ ἀποτελοῦντες τὸ μέρος τοῦ γηΐνου φλοιοῦ μέχρις οὗ εἰσέδυσαν δὲν ἐμφαίνουσι τὴν αὐτὴν διάταξιν· διότι οἱ μὲν εἶναι ὄγκοι ἄτακτοι, δι' ὧν διέρχονται διαφυαὶ καθ' ὅλας τὰς φορὰς καὶ συγκείμενοι ἐξ ὀρυκτῶν συμπεφορημένων ἄνευ οὐδεμιᾶς ἐξωτερικῆς συμμετρίας, ἄλλοι δὲ ἐξ ἐναντίας εἰσὶ διατεταγμένοι κανονικῶς ἐν εἴδει στιβάδων ὑπερτεθειμένων καὶ παραλλήλων, διαχωριζομένων δὲ διὰ διαφυῶν ὡς ἐπὶ τὸ πλεῖστον ὁριζοντίων, ἢ σπανιώτερον πλαγίων· ἡ δὲ διάταξις αὕτη τῶν ὄχθων εἰς παραλλήλους στιβάδας ὠνομάσθη Στιβάδωσις. (Σχῆμα 85).



Σχῆμα 85.—

Τομὴ ἐδάφους δεικνύουσα τὴν διάταξιν τῶν πυρογενῶν ὄχθων κατ' ὄγκους ἀκανονίστους καὶ τὴν τῶν κανονικῶς ἐστιβαδωμένων ἀποθεματικῶν.

Πλάσις χρυσταλλωτὴ ἢ στιβαδωτὴ τῶν ὄχθων.

Τρόπος τῆς ὑποστάσεως αὐτῶν.

